# TEZAUR LITURGIC

## 19 MAI

## GHEORGHIOS GALANOPOULOS

# EGKOMIA SF.13 CUVIOŞI-MUCENICI DE LA KANTARA CIPRULUI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 19 ΜΑЇΟΣ

# ΟΣΙΟΜΑΡΤΥΡΕΣ

# ΚΑΝΤΑΡΑΣ ΚΥΠΡΟΥ

# ΕΓΚΩΜΙΑ

**Ποίημα Γεώργιος Γαλανόπουλος**

**Στάσις Α΄. Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.**

Μεγαλύνομεν νῦν, τῶν Πατέρων χορός, ἱερὰν μνήμην ὑμῶν καὶ δοξάζομεν, τὸν δοξάσαντα Θεὸν ὑμᾶς πιστῶς.

Μαχαῖρα Καντάρας, Θεοτόκου Μοναί, ἑορτάζουσι Πατέρων πανήγυριν, τῆς ἀθλήσεως καὶ μνήμης ἐν ψαλμοῖς.

Ἐν τῇ Λευκωσίᾳ, νῦν τελοῦμεν ψαλμοῖς, τῶν Πατέρων τὴν πανίερον ἄθλησιν, ἑορτάζοντες τὴν μνήμην ἱερῶς.

Ἐλευθέραν πάλιν, τὴν Καντάρας Μονήν, καὶ πατρίδα τὴν ὑμῶν Κύπρον ἅπασαν, δὸς Χριστέ μου νῦν αἰτούμεθα κλαυθμοῖς.

Ἀνυμνοῦμεν πάντες, τὰ ὑμῶν ἀληθῶς, ἀξιάκουστα παράδοξα θαύματα, καὶ γεραίρομεν παλαίσματα σκληρά.

Γεωργήσας Κόνον, τοῦ Χριστοῦ ἐντολάς, ἀρετῆς εἰς ἀρετὴν καὶ εἰς δύναμιν, θείαν ἤνυσας μετ᾽ Ἰωσὴφ ὁδόν.

Ἱκετεύομέν σε, Πάτερ Μᾶρκε πιστῶς, τὸν κηρύξαντα Ὀρθόδοξα δόγματα, Λατινόφροσι μνημόνευε ἡμῶν.

Ὁ λαὸς Κυρίου, ἐν Καντάρας Μονῇ, Ἰωάννου μεγαλύνει τὴν ἄθλησιν, ἡγουμένου καὶ Πατέρων τὸν χορόν.

Ἴθυνον τὸν βίον, εὐσεβῶν πρὸς Χριστόν, πρὸς ὁδοὺς τῆς μετανοίας Γεννάδιε, ἵνα θείας ἀπολαύσωσι τρυφῆς.

Ὤφθης ἐν ὁσίοις, τῆς ἀγάπης κανών, τῆς πραότητος εἰκὼν καὶ τῆς πίστεως, στῦλος ἄσειστος Βαρνάβα θαυμαστέ.

Σπεύσατε Βαρνάβα, Μάξιμε Γερμανέ, βοηθῆσαι τοὺς δοξάζοντας μέλεσιν, ὑμῶν ἄθλησιν ὁσίας βιοτῆς.

Ἀρετὰς Κυρίλλου, ἐπαινοῦντες πιστοί, αἰτησώμεθα λιταῖς πρὸς Φιλάνθρωπον, τοῦ ῥυσθῆναι ἡμᾶς πλάνης τοῦ σατᾶν.

Τοὺς ὑμᾶς ὑμνοῦντας, ψαλμικῶς ἐν ᾠδαῖς, Ὁσιόαθλοι Πατέρες φρουρήσατε, περισκέποντες Καντάρας τὴν Μονήν.

Ἐπὶ τῶν ὑδάτων, τὰς πηγὰς ὡς δορκάς, τοὺς πιστοὺς διψῶντας Κόνον κατεύθυνον, ἀναψύχων νουθεσίαις σου ὀρθαῖς.

Παννυχεὶ ἀγρύπνως, ἐν νηστείαις σκληραῖς, προσευχαῖς ἐνδιαιτώμενοι Ὅσοι, ταπεινώσει εὐμενίσατε Θεόν.

Ἀληθῶς τὸν βίον, ἀρεταῖς θεϊκαῖς, ἐπλουτίσατε Πατέρες πανεύφημοι, ὧν τὸν πλοῦτον πρὸς ζωὴν ἀγήρω δοτ᾽ ἡμῖν.

Νέμεις τοῖς αἰτοῦσι, δαψιλῶς χάριν σήν, ἰατρείαν νοσημάτων ἀδάπανον, καὶ θαυμάτων σου Θεόκτιστε ἡμᾶς πλουτεῖς.

Τίς σου τὰ σημεῖα, παραδόξως φρικτά, ὦ Θεόγνωστε σοφὲ διηγήσειεν, καὶ τὰ σὰ Ἱερεμία θαυμαστά;

*Τριαδικόν.*

Ἀθληταὶ Πατέρες, τῆς Καντάρας Μονῆς, τὸν Πατέρα σὺν Υἱῷ τε καὶ Πνεύματι, ἱλεώσατε σωθῆναι τοὺς πιστούς.

*Θεοτοκίον.*

Σπεῦσον Θεοτόκε, βοηθῆσαι ἡμᾶς, καὶ κολάσεως μελλούσης ἐκλύτρωσαι, πρὸς Υἱόν Σου παρακλήσεσι θερμαῖς.

*Καὶ πάλιν τὸ πρῶτον:*

Μεγαλύνομεν νῦν, τῶν Πατέρων χορός, ἱερὰν μνήμην ὑμῶν καὶ δοξάζομεν, τὸν δοξάσαντα Θεὸν ὑμᾶς πιστῶς.

**Στάσις Β΄. Ἦχος πλ. α΄. Ἄξιον ἐστί.**

Ἄξιον ἐστί, μεγαλύνειν ὑμᾶς θείοις ὕμνοις, τοὺς ἐν ἀρεταῖς καὶ μεγίστοις θαύμασιν, ἐναθλήσαντας στεῤῥῶς ὑπὲρ Χριστοῦ.

ᾎσμα τὸ ἡδύ, ἀναμέλψωμεν μετ᾽ εὐλαβείας, τοῖς Ὁσιάθλοις καὶ θεοῤῥήμοσιν, ἐξαιτούμενοι αὐτῶν θείαις λιταῖς.

Τῦψον τοὺς ἐχθρούς, τὴν ἡμῶν πατρίδα κατεχόντων, καὶ Μονὴν Καντάρας ἀπελευθέρωσον, ὦ Χριστέ μου μεσιτείαις Σῆς Μητρός.

Ὄμματα καὶ νοῦν, πρὸς Θεὸν ἀεὶ ἔχειν σε Κόνον, πάσας ἀρετὰς θείας ἐκατόρθωσας, ἐξαιρέτως δὲ ταπείνωσιν πολλήν.

Σὲ Χριστιανῶν, οἱ χοροὶ Γεννάδιε ὑμνοῦσι, καὶ πιστῶν συστήματα ἀναμέλπουσι, σὺν Βαρνάβᾳ Ἰωσὴφ καὶ Γερμανῷ.

Ἴθυνον Χριστέ, εὐσεβῶν πρὸς Σὲ καρδίας, φρένας ὅπως εὐφημήσωσι Μᾶρκον ᾄσμασι, καὶ Γεράσιμον τὸν ὄντως θαυμαστόν.

Ὅπλῳ τοῦ Σταυροῦ, ἐζωσμένοι πάνσοφοι Πατέρες, ὦ Ἱερεμία Κύριλλε Μάξιμε, ἐτροπώσατε τὰ ἔνεδρα σατᾶν.

Ἵλεως ἡμῖν, ἱκεσίαις τῶν σεπτῶν Πατέρων, ὦ Δημιουργὲ γενοῦ ὑπεράγαθε, καὶ γεέννης ῥῦσαι πάντας τοὺς πιστούς.

Πῦλαι οὐρανῶν, ὑπεδέξαντο ὑμᾶς Πατέρες, ὅτε πρὸς Χριστὸν πιστῶς ἐκδημήσατε, μετελθόντες γῇ Ἀγγέλων βιοτήν.

Ἵλαθι Χριστῷ, ὑπὲρ δούλων σου λαμπρῶς τιμώντων, μνήμην Ἰωάννη σεπτὲ ἡγούμενε, καρδιῶν τὸν πόθον τούτων ἐκπληρῶν.

Σκεῦος ἐκλεκτόν, μυροθήκης Πνεύματος Ἁγίου, πέλεις ὦ τρισμάκαρ στεῤῥὲ Θεόκτιστε, ἀρεταῖς κεκοσμημένος ἀληθῶς.

Τήρει ἀβλαβεῖς, τοὺς πιστοὺς Θεόγνωστε κινδύνων, νόσους ἐκδιώκων δεινὰς καὶ χαλεπάς, πειρασμοὺς τοὺς ψυχολέθρους ἐκποδῶν.

Ὄλβιος ὡς σέ, Ἰωάννη νῦν ἐπικαλεῖται, σὺν χορῷ λοιπῶν Πατέρων δεόμενος, ἐν τῷ βίῳ τῶν ποικίλων ἀναγκῶν.

Ὕψει θεϊκῷ, τὴν ταπείνωσιν ὁσιοτάτως, πάντες γεωργήσαντες θείαις πράξεσιν, ὑπηνέγκατε ὀνείδη καρτερῶς.

Στῶμεν εὐλαβῶς, μετὰ φόβου πίστεως ἀγάπης, ἐν ταῖς Ἐκκλησίαις ὦ φιλομάρτυρες, ἀνυμνοῦντες τῶν Πατέρων ἑορτήν.

Στῦλοι ἀρετῶν, καὶ τῆς πίστεως ὑπερμαχοῦντες, πλάνην κακοδόξων σοφῶς ᾐσχύνατε, ὦ Πατέρες εὐκλεεῖς μάνδρας σεπτῆς.

Ὥσπερ προσφορά, καὶ θυσία θείας εὐωδίας, τῷ Χριστῷ καμάτους πάντες ἠγάγετε, καὶ ἀθλήσεως στεῤῥᾶς αἷμα ὑμῶν.

Σῷζε τοὺς πιστούς, Ἰωάννη τῶν Ὁσίων δόξα, πάσης πειρασμῶν δεινῆς περιστάσεως, δυσωπῶν μετὰ χορείας τὸν Χριστόν.

ᾎσματα πιστοί, νῦν προσοίσωμεν Καντάρας μάνδρᾳ, ἔνδοξον χορὸν πόθῳ μεγαλύνοντες, Ὁσιομαρτύρων καὶ ἡμῶν φρουρῶν.

*Τριαδικόν.*

Τὴν Τριαδικήν, τοῖς προσώποις μίαν Θεαρχίαν, δεῦτε οἱ λαοὶ πίστει προσκυνήσωμεν, τὸν Πατέρα καὶ Υἱὸν Πνεῦμα τ᾽ εὐθές.

*Θεοτοκίον.*

Ἔρχου Μαριάμ, καὶ παράσχου νίκας Ὀρθοδόξοις, καὶ ταῖς Ἐκκλησίαις Χριστοῦ ὁμόνοιαν, καὶ εἰρήνην θείαν βράβευσον πιστοῖς.

*Καὶ πάλιν τὸ πρῶτον:*

Ἄξιον ἐστί, μεγαλύνειν ὑμᾶς θείοις ὕμνοις, τοὺς ἐν ἀρεταῖς καὶ μεγίστοις θαύμασιν, ἐναθλήσαντας στεῤῥῶς ὑπὲρ Χριστοῦ.

**Στάσις Γ΄. Ἦχος γ΄. Αἱ γενεαὶ πᾶσαι.**

Αἱ γενεαὶ πᾶσαι, ᾄσματα ἐκ πόθου, προσφέρει τοῖς Πατρᾶσι.

Μοναστῶν χορεῖαι, ὕμνοις μελιῤῥύτοις, τιμήσατε Ὁσίους.

Ἐγκωμιαζομένων, Ὁσίων καὶ Μαρτύρων, Χριστὸς παρέχει χάριν.

Ἑορτὴν τελοῦντες, φησὶν ὁ Χρυσοῤῥήμων, τιμώμενον μιμεῖσθε.

Τὴν ἐλευθερίαν, δὸς Χριστὲ Κυπρίοις, λιταῖς Σῶν Ὁσιάθλων.

Ὄμβρους χάριτός σου, ῥᾶνον τοῖς τιμῶσι, Γεράσιμε σὴν μνήμην.

Σκεῦος Παναγίου, Πνεύματος ἐγένου, Γεννάδιε θεόφρον.

Ἴθυνον πρὸς τρίβους, τῆς μετανοίας Μᾶρκε, ἡμῶν ἀεὶ τὸν βίον.
Ὅπως ἀπαλλάξῃς, ἡμᾶς ἐκ πάσης βλάβης, παρακαλοῦμεν Κόνον.
Ἰσοστάσιοί γε, νῦν Ὁσιοάθλων, ὑμεῖς ἐστὲ ἐν πόλῳ.
Δεῦτε φιλεόρτων, πληθὺς καὶ ἱερέων, δῶμεν τιμὴν Μαξίμῳ.
Ἔχομέν σε πρέσβυν, καὶ πρὸς Χριστὸν μεσίτην, ὦ Ἰωσὴφ τρισμάκαρ.
Ἵνα λυτρωθῶμεν, πυρὸς τοῦ αἰωνίου, δεόμεθα Βαρνάβα.
Νέμεις τοῖς αἰτοῦσι, τὴν χάριν σῶν θαυμάτων, ὦ Γερμανὲ καὶ κρείττω.
Ὦ σεπτοὶ Πατέρες, φρουρήσατε Καντάρας, Μονὴν καὶ νῆσον Κύπρον.
Νίκας Ὀρθοδόξοις, παράσχου Ἰωάννη, τοῖς σὲ ὑμνολογοῦσιν.
Ἥλιον δυσώπει, νοητὸν χορεία, ἡμῶν φωτῖσαι σκότη.
Μήποτε ἀφήσῃς, Ἱερεμία πάντας, ἄνευ σῆς βοηθείας
Ἀσκητὰς Πατέρας, θείους Ἀθλοφόρους, φιλέορτοι ὑμνοῦμεν.
Στήλη ἐγκρατείας, Θεόκτιστε ὤφθης, καὶ πίστεως ὁ στῦλος.
Ῥάνατε δακρύοις, ἄνθεσι καὶ μύροις, εἰκόνα Ὁσιάθλων. *(γ΄)*

Ὕβριν τῶν δαιμόνων, Θεόγνωστε παῦσον, καὶ πάθη ψυχοφθόρα.

Συγγνώμην δὸς πταισμάτων, ἡμῶν Θεῷ λυπούντων, ὦ Κύριλλε λιταῖς σου.

Ἀπαύστως τοῖς ὑμνοῦσιν, ὑμῶν τὴν μνήμην δότε, κατ’ ἄμφω ἰατρείαν.

Σπουδάσωμεν ἀσμένως, ἐν μάνδρᾳ τῆς Καντάρας, τιμήσασθαι Πατέρας.

*Τριαδικόν.*

Θεότητα μίαν, Πατέρα Λόγον Πνεῦμα, ἐν πίστει προσκυνοῦμεν.

*Θεοτοκίον.*

Ἔρχου Θεοτόκε, ὡς πρέσβυς πρὸς Υἱόν Σου, Θεὸν ἡμᾶς σωθῆναι.

*Καὶ πάλιν τὸ πρῶτον:*

Αἱ γενεαὶ πᾶσαι, ᾄσματα ἐκ πόθου, προσφέρει τοῖς Πατρᾶσι.

